μισθώματα, καὶ σὺ δέδωκας μισθώματα πᾶσι τοῖς ἐρασταῖς σου
καὶ ἐφόρτιζες αὐτοὺς τοῦ ἔρχεσθαι πρὸς σὲ κυκλόθεν ἐν τῇ πορ-
34 νείᾳ σου. [34]καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς γυναῖκας
ἐν τῇ πορνείᾳ σου, καὶ μετὰ σοῦ πεπορνεύκασιν ἐν τῷ προσ-
διδόναι σε μισθώματα, καὶ σοὶ μισθώματα οὐκ ἐδόθη, καὶ ἐγένετο
35 ἐν σοὶ διεστραμμένα. — [35]διὰ τοῦτο, πόρνη, ἄκουε λόγον κυρίου
36 [36]Τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἐξέχεας τὸν χαλκόν σου, καὶ ἀποκα-
λυφθήσεται ἡ αἰσχύνη σου ἐν τῇ πορνείᾳ σου πρὸς τοὺς ἐραστάς
σου καὶ εἰς πάντα τὰ ἐνθυμήματα τῶν ἀνομιῶν σου καὶ ἐν τοῖς
37 αἵμασιν τῶν τέκνων σου, ὧν ἔδωκας αὐτοῖς. [37]διὰ τοῦτο ἰδοὺ
ἐγὼ ἐπὶ σὲ συνάγω πάντας τοὺς ἐραστάς σου, ἐν οἷς ἐπεμίγης ἐν
αὐτοῖς, καὶ πάντας, οὓς ἠγάπησας, σὺν πᾶσιν, οἷς ἐμίσεις· καὶ
συνάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν καὶ ἀποκαλύψω τὰς κακίας σου
38 πρὸς αὐτούς, καὶ ὄψονται πᾶσαν τὴν αἰσχύνην σου· [38]καὶ ἐκδι-
κήσω σε ἐκδικήσει μοιχαλίδος καὶ ἐκχεούσης αἷμα καὶ θήσω σε ἐν
39 αἵματι θυμοῦ καὶ ζήλου. [39]καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν,
καὶ κατασκάψουσιν τὸ πορνεῖόν σου καὶ καθελοῦσιν τὴν βάσιν
σου καὶ ἐκδύσουσίν σε τὸν ἱματισμόν σου καὶ λήμψονται τὰ σκεύη
τῆς καυχήσεώς σου καὶ ἀφήσουσίν σε γυμνὴν καὶ ἀσχημονοῦσαν.
40 [40]καὶ ἄξουσιν ἐπὶ σὲ ὄχλους καὶ λιθοβολήσουσίν σε ἐν λίθοις καὶ
41 κατασφάξουσίν σε ἐν τοῖς ξίφεσιν αὐτῶν. [41]καὶ ἐμπρήσουσιν τοὺς
οἴκους σου πυρὶ καὶ ποιήσουσιν ἐν σοὶ ἐκδικήσεις ἐνώπιον γυναι-
κῶν πολλῶν· καὶ ἀποστρέψω σε ἐκ τῆς πορνείας σου, καὶ μισθώ-
42 ματα οὐ μὴ δῷς οὐκέτι. [42]καὶ ἐπαφήσω τὸν θυμόν μου ἐπὶ σέ,
καὶ ἐξαρθήσεται ὁ ζῆλός μου ἐκ σοῦ, καὶ ἀναπαύσομαι καὶ οὐ μὴ
43 μεριμνήσω οὐκέτι. [43]ἀνθ᾽ ὧν οὐκ ἐμνήσθης τὴν ἡμέραν τῆς νη-
πιότητός σου καὶ ἐλύπεις με ἐν πᾶσι τούτοις, καὶ ἐγὼ ἰδοὺ τὰς
ὁδούς σου εἰς κεφαλήν σου δέδωκα, λέγει κύριος· καὶ οὕτως ἐποί-
44 ησας τὴν ἀσέβειαν ἐπὶ πάσαις ταῖς ἀνομίαις σου. [44]ταῦτά ἐστιν
πάντα, ὅσα εἶπαν κατὰ σοῦ ἐν παραβολῇ λέγοντες Καθὼς ἡ μήτηρ,
45 καὶ ἡ θυγάτηρ. [45]θυγάτηρ τῆς μητρός σου σὺ εἶ ἡ ἀπωσαμένη
τὸν ἄνδρα αὐτῆς καὶ τὰ τέκνα αὐτῆς καὶ ἀδελφὴ τῶν ἀδελφῶν
σου τῶν ἀπωσαμένων τοὺς ἄνδρας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν·

33 μισθωματα $1^{0}\frown 2^{0}$ A† || 34 εν $1^{0}$ > A | διεστραμμενον et -μενα] εξεστρ. Apau. | προσδιδοναι] σ > Apau., προσ > B*pau. | σοι / μισθ. ουκ εδοθη] tr. B = 𝔐 || 36 κυριος B†] pr. αδωναι rel.: item in 59, cf. 3 55 | εις] επι A || 37 επι σε συναγω] επι σε in *O* sub ÷, επισυναγω B† || 38 και εκχεουσης αιμα > B† | θησω] -σομαι A: cf. 14 8 | αιματι] τω αιματι σου και δωσω σε εις αιμα A | ζηλους Apau.: cf. Thack. p. 158 || 39 τον ιματισμον] τα ιματια B*L* = 𝔐 || 41 πυρι] pr. εν Apl. | εκ] απο Apau. | της πορνειας σου] πορνειας B: cf. 𝔐 || 43 την ημεραν > B† | κυριος: cf. 3 | ασεβειαν] + σου A || 45 θυγ. > Apau. | σου $1^{0}$ > A†: ante συ | αδελφη ... των απωσαμενων *L*pV] αι(>B) αδελφαι ... αι απωσαμεναι BA | των αδελφων / σου] tr. A(†)